UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eusebio Episcopo. 492.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

οἷς καθείρχθη, τὰς ἀμοιβαίους εἱρκτάς, ἃς ἐπὶ στρατόπεδον ἑλκόμενος ᾤκησε· τὴν ἐκεῖσε βάσανόν τε καὶ γύμνωσιν, ἣν παρὰ θεοῦ ὑπέμεινε πρὸς διόρθωσιν. ἀλλ' ἐπειδὴ πάντων ἐκείνων ἐπιλαθόμενος, πάλιν ἄρξαι ἱμείρεται, ὡς μανθάνομεν, μὴ ἐνδώσῃς κωλύων, ὅση σοι δύναμίς ἐστι. σαυτῷ τε γὰρ καὶ πόλει καὶ αὐτῷ ἐκείνῳ χαριῇ, σαυτῷ τὴν δόξαν, τῇ πόλει τὴν ἡσυχίαν, ἐκείνῳ τὸ μὴ πολλὰ ἁμαρτεῖν, καὶ πλείονα πάλιν παθεῖν.

coniectus est, ea item, quibus cum ad castra traheretur, astrictus est, cruciatum eũ ac nuditatem quam illic diuinitus, vt ad meliorem mẽtem rediret, sustinuit. Quoniam autem harum omnium rerum obliuione captus, præfecturam rursum, vt ad nos allatum est, affectat, ne id quæso permittas: verùm omnibus viribus prohibe. Sic enim, & tibi, & vrbi, & illi ipsi commodabis, tibi nimirum gloriam, vrbi quietem, illi ne multa peccet, ac pluribus rursum suppliciis afficiatur.

### Εὐτονίῳ διακόνῳ. υϟα.

τοῦ λευκώματος. Ἡ τῆς σανίδος γραφή, ἣν Πιλᾶτος περὶ τῆς κυριακῆς ἔπηξε κεφαλῆς, τὴν τοῦ κυρίου ἐπλήρου φωνήν, ἐπειδὰν ὑψωθῶ, λέγοντος, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. ἐδήλου τοίνυν ἡ ἐκεῖθεν ἀνάγνωσις, οὐχ ὑπὲρ Ἰουδαίας μόνης, (παντός.) ἀλλὰ καὶ πάσης Ἕλληνος καὶ βαρβάρου γεγενῆσθαι τὸ σωτήριον πάθος.

### *Eutonio Diacono.* 491.

Tabellæ illius scriptura, quam Pilatus supra Dominicum caput fixit, hanc Domini vocem explebat, cùm exaltatus fuero, omnia traham ad meipsum. *Ioan. 19.* Itaque lectio ea hoc indicabat, salutiferam passionem non pro Iudæa duntaxat, verùm etiam pro omnibus tam Græcis, quàm barbaris nationibus extitisse. *Ioan. 12.*

### Εὐσεβίῳ ἐπισκόπῳ. υϟβ.

ἀνήλεος. Ἴσθι θαυμάσιε, ὡς ἡ κρίσις ἀνίλεος τῷ μὴ ποιήσαντι ἔλεος, οὐκ ἐκ τῶν ἀλλοτρίων μόνον δωρεῶν, ὧν αὐτὸς τοὺς πτωχοὺς ἀποστερεῖς, ἀλλὰ καὶ ἐκ τῶν οἰκείων, ὧν ἑκουσίως τὴν μετάδοσιν ποιεῖσθαι χρεωστεῖς.

### *Eusebio Episcopo.* 492.

Velim hoc scias, vir eximie, iudicium misericordiæ expers huic fore, qui misericordiam non fecerit, non ex alienis duntaxat muneribus ac beneficiis, quibus tu *Iacob. 2.* pauperes spolias, verùm etiam ex propriis, quæ tu vltrò ac sponte cum aliis communicare teneris.

### Κυρηνίῳ. υϟγ.

Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; τί νεανιεύεται φθορά; τί μέγα φρονεῖ καὶ ὑπεραίρεται σκιά; τί σε φυσᾷ ὄνειρος ἀρχῆς; πῶς οὐχ ὁρᾷς τοὺς καταλύοντας αἰσχρῶς; πῶς οὐ ζηλοῖς τοὺς διαπρέψαντας χρηστῶς; ἀλλὰ βραχυτελῆ ἡγεμονίαν, ὡς ἀτελεύτητον νομίζεις ἐξουσίαν, ἐφ' ᾗ ὁ τοῦ χρόνου σε κύκλος θεραπεύσῃ στρεφόμενος, πρὸς τέλος ὠθῶν τὴν ἀρχήν σου, καὶ τέλος ἐπιτιθεὶς τῷ βρασμῷ σου.

### *Cyrenio.* 493.

Quid superbit terra & cinis? Quid insolenter se gerit labes & corruptela? Quid *Eccle. 10.* magnificè de se sentit ac se effert vmbra? Quid te imperij ac præfecturæ insomniũ inflat? Quin tu eos cernis qui turpiter ac fœdè diem vitæ extremum claudũt? Quin tu eorum æmulum te præbes, qui probè atque insigniter vixerunt? verùm breuem principatum tanquam sempiternam potẽtiam arbitraris: ob quam temporis orbis conuersus te curabit, præfecturam tuam ad finem impellens, atque æstui tuo terminum imponens.